eul_wid: skw-ac

*Ἐρωτικὰ Ἀδέσποτα* · Erotic Narrative Anonymous

## Chione

*Χιόνη*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

col1 [15-18] ” ........... ας ἡ [β]ασιλεία εἰς ταύτην καὶ τὸν συνοικήσοντα αὐτῇ μετέρχεται, διόπερ οὕτω χρὴ βουλεύσασθαι νῦν ἡμᾶς ὡς μὴ μεταγνῶναί ποτε δύνασθαι. ἔχομεν δὲ εἰς σκέψιν χρόνον ἡμερῶν τριάκοντα ἃς εἰς τοῦτο παρ’ αὐτῶν 〈 ............... 〉 πλεῖον.” ταῦτ’ ἀκου[4 more lines were left untranscribed] –ρουσαν.

col2 οὗτοι μὲν ἦσαν πρὸς τ[ῷ] περ[ὶ αὐ-] τῶν βουλεύεσθαι· ταχέως δὲ διεφοίτησε ἀνὰ τὴν πόλιν ἅπασαν ......... φας φήμ[η καὶ] οὐθε[ὶς] ἄλλο οὐδὲν ἐλάλει [ἢ] περὶ τοῦ γάμου. πάντες δὲ ἤχθοντο λογιζόμενοι τὸ περὶ τῆς ἀπειλῆς αὐτῶν ἀπαίδευτον καὶ μάλιστα ὅσοι δύνατοι τῶν πολιτῶν ὑπάρχοντες καὶ αὐτοὶ πολιτεύεσθαι τὴν Χιόνην ἔμελλον μνηστεύεσθαι. οὐ μέντοι γε αὐτῶν τις ἐτόλμα μετ’ ἐκείνους αἰτεῖν τὴν κόρην. ἡ δὲ Χιόνη παρὰ τῆς μητρὸς μαθοῦσα ταῦτα οὐκ ετ . [4 more lines were left untranscribed] ”[Με-] γαμήδης τε προσδόκιμός ἐστιν, ἡμεῖς δὲ μέχρι νῦν πάντα κάλων κινοῦντες, ὡς εἰπεῖν, οὐδὲν ἐπὶ σωτηρίαν νενοήκαμεν.

col3 αἰτίαν δ’ οὐδεμίαν παρέσχηκέ σοι Μεγαμήδης ἵνα ἀπολίπῃς αὐτόν. ὥστε διαλογίζου τι δραστέον ἡμῖν. ἐγὼ μὲν γὰρ ἀπορῶ.” ἡ δὲ Χιόνη, “οὐδ’ ἐγὼ μέν,” φησιν, “εἰς σωτηρίαν τι εὑρίσκω. ἓν δὲ τοῦτό σοι λέγω, εἰ μὴ δυνάμεθα ζῆν μετ’ ἀλλήλων, προστάξαντες τουτω .... ἐπωδυνω ........... ........ τὸ γὰρ τελευταῖον ἡμῖν ἀπολείπεται. χρὴ δὲ οὐδὲν [4—8 letters] καὶ ὅπως εὐσχημόνως γενηθῇ σκοπεῖν· λεληθότας γὰρ ἡμῖν το [1 line was left untranscribed]